Ακαδημία Αθηνών / Academy of Athens



ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δόξα καὶ νῦν, καὶ ἡ ἀπόλυσις.

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα Σοι.

Ὁ καὶ νεκρῶν καὶ ζώντων ἐξουσιάζων ὡς Θεὸς καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἁγίου καὶ ἐνδόξου τετραημέρου φίλου τοῦ Χριστοῦ Λαζάρου καὶ τὴν ψυχὴν τοῦ ἐξ ἡμῶν μεταστάντος δούλου Σου (δεῖνος) ἐν σκηναῖς δικαίων τάξαι, ἐν κόλποις Ἀβραὰμ ἀναπαῦσαι καὶ μετὰ δικαίων συναριθμῆσαι καὶ ἡμᾶς ἐλεῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Δι' εὐχῶν, κτλ.

## Αἴτησις γινομένη κατὰ τὰ Σάββατα τῶν ψυχῶν.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, Βασιλέων, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν, Μοναζουσῶν, Πατέρων, Προπατόρων, Πάππων καὶ Προπάππων ἐκ τῶν ἀπ' ἀρχῆς καὶ μέχρι τῶν ἐσχάτων· καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μέλημα ἑκούσιόν τε καὶ ἀκούσιον. Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν, ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν Βασιλείαν τῶν οὐρανῶν καὶ ἄφεσιν τῶν ἑαυτοῖς ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὅτι Σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις (ὡς ἀνωτέρω).

## Νεκρώσιμος ἀκολουθία κατὰ τὴν διακαινήσιμον ἑβδομάδα.

Ψάλλεται τό, Χριστὸς Ἀνέστη μέχρι τοῦ Ναοῦ. Εἶτα, Εὐλογητὸς καὶ τό, Χριστὸς ἀνέστη ὑπὸ τοῦ ἱερέως ἅπαξ καὶ ἀνὰ μίαν ὑπὸ τῶν χορῶν. Κατόπιν ψάλλεται ὁ ἀναστάσιμος κανὼν ἀνὰ δ΄ ἐν ἑκάστῃ ᾠδῇ· ἡ καταβασία, Ἀναστάσεως ἡμέρα, Χριστὸς ἀνέστη, ἐκ γ΄ καὶ ἀναστὰς ὁ Ἰησοῦς. Ὁ διάκονος· τοῦ Κυρίου δεηθῶμεν καὶ ὁ ἱερεύς· Ὅτι Σὺ εἶ ἡ ἀνάστασις κτλ. Εἰς τὸ τέλος ἑκάστης ᾠδῆς γίνεται αἴτησις. Ἀπὸ τῆς θ΄ ψάλλεται τό, Σαρκὶ ὑπνώσας δίς· εἶτα ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας· εἶτα ὁ διάκονος· Ἐλέησον ἡμᾶς ὁ Θεὸς κτλ. καὶ εἴ ἐστιν ἀρχιερεὺς λέγει τὴν εὐχήν· «Κύριε ὁ Θεὸς ἡμῶν·» μετὰ τὸ τέλος τῆς ὁποίας ὁ διάκονος· τοῦ Κυρίου δεηθῶμεν καὶ ὁ ἀρχιερεὺς τὴν β΄ εὐχήν· «Δέσποτα πολυέλεε κτλ.» καὶ ἀπόλυσις. Εἰς δὲ τὸν ἀσπασμὸν τοῦ λειψάνου ψάλλεται τό, Ἀναστάσεως ἡμέρα· ὅπερ ἐπαναλαμβάνεται μέχρι τοῦ τάφου.

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ